www.tezaurliturgic.ro

ΣΥΜΠΛΗΡΩΣΙΣ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΠΑΧΩΜΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Συμπλήρωσις τῆς ἀκολουθίας τοῦ ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Παχωμίου τοῦ Μεγάλου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Προσόμοια Ἦχος β'

*Ποίοις εὐφημιῶν.*

Ποίοις μελωδικοῖς ἄσμασι, εὐφημήσωμεν τὸν θεοφόρον, τὸν ἀσκητικοῖς διαλάμψαντα, πόνοις καὶ ποικίλοις παλαίσμασι, τὸν καταβαλόντα τῶν δαιμόνων τὰ στίφη, τοῖς ἐγκρατείας τοῖς τοξεύμασι, καὶ πάσας, τὰς μηχανὰς τούτων συντρίψαντα, καὶ ἀπελαύνοντα πόρρω, καὶ νόσους ἰώμενον, τῶν σωμάτων καὶ τῶν ψυχῶν, τὸν μέγαν Παχώμιον, τοῦ Χριστοῦ θεῖον θεράποντα.

Πόθῳ πνευματικῷ σήμερον, τὸν ἐφάμιλλον ὑμνοῦντες τῶν ἀγγέλων, πάντα μοναστῶν τὰ συστήματα, τούτῳ μετὰ πίστεως εἴπωμεν· Πάτερ τοῦ Χριστοῦ πιστὲ θεράπον, ὁ θρόνῳ, ἀεὶ τῆς δόξης παριστάμενος, καὶ κάλλους ἐνοπτριζόμενος Παχώμιε, τῆς ὑπερφώτου Τριάδος, ἐκτενῶς ἱκέτευε, λυτρωθῆναι ἐκ πειρασμῶν, ἡμᾶς τοὺς τὴν μνήμην σου, ἐκτελοῦντας τὴν φωτοπάροχον.

Θείῳ πυρποληθεὶς ἔρωτι, προσπαθείας σεαυτὸν νῦν φθειρομένων, ἀπεσπάσω Πάτερ Παχώμιε, καὶ ἐν ταῖς ἐρήμοις ἐμάκρυνας, φυγαδεύων ἐνστησάμενος παλαίστραν θεόφρον, κατὰ δαιμόνων ἀντιλήπτορα ὡς ἔχων, Χριστὸν ἀεὶ καὶ συμμαχοῦντά σοι, καὶ ἐμπαθείας τὴν φλόγα, τῇ ἀσκήσει σβέσας, ἀγελάρχης ἀναδειχθείς, ὁσίων καὶ ἔφορος, θεοπρόβλητος μακάριε.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ἦχος Α' Ἰδιόμελα.*

Εὐφραινέσθω σήμερον ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἀσκητικὴν ἐπιτελοῦσα πανήγυριν, τοῦ θεοφόρου Πατρὸς Παχωμίου, τοῦ τὴν ὑφήλιον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

πυρσεύσαντος, τῶν θαυματουργῶν αὐτοῦ ταῖς ἀκτίσι· καὶ γὰρ ὡς ἄλλος Μωϋσῆς, τὰς δέλτους δι' ἀγγέλου δεξάμενος, εὐρύθμως συνεστήσατο τάξιν, ἀγγελοειδοῦς παραστάσεως τοῦ Ἁγίου Σχήματος· καὶ νῦν τοῖς ἄνω χοροῖς τῶν Ἀγγέλων αὐλιζόμενος, πρεσβεύει τῷ φιλανθρώπῳ Χριστῷ, τῷ Σωτῆρι καὶ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος Β'*

Τὸν ἀρχηγὸν φιλέορτοι, ἅπαντες τῶν ἀσκητῶν καὶ κορυφαῖον, ἐγκωμίων ἄνθεσι καταστέφοντες εἴπωμεν· χαίροις, ὁ τῶν ῥεόντων ὅσιε, τὴν τύρβην ἀποσεισάμενος, καὶ τὸν ζυγὸν τοῦ Χριστοῦ, πόθῳ ἀκλινεῖ ἐπ' ὤμων ἀράμενος· χαίροις ὁ τῆς σαρκὸς σκιρτήματα, νεκρώσας τῆς ἀσκήσεως ἱδρῶσι· καὶ περιὼν ἐν γῇ Παχώμιε, ἄγγελος ἐν ὕλῃ καθωράθης· χαίροις ὁ τῶν ἐχθρῶν τὰς φάλαγγας, τῇ πανσθενεῖ τοῦ Πνεύματος δυνάμει τροπωσάμενος, καὶ πλήθους θεοφόρε μοναστῶν καθηγησάμενος· ἱκέτευε πανόλβιε, παριστάμενος νῦν τῷ Δεσπότῃ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος Δ'*

Δεῦτε πόθῳ καὶ χαρᾷ, τοῦ ἐν πατρᾶσι μεγίστου, τὴν μνήμην ἑορτάσωμεν· καὶ ἐν ψαλμοῖς καὶ ὕμνοις, ἐν οἴκῳ ἱερῷ, ὡς φιλοπάτορες υἱοὶ τούτῳ ἐκβοήσωμεν· Πατὴρ πατέρων ὅσιε, τῶν ἱκεσιῶν σου θείᾳ ἐπισκέψει, χάρισαι ἡμῖν τοῖς σοῖς τέκνοις, τῶν εὐχῶν μὴ διαμαρτεῖν, τῶν πρὸς Χριστὸν τὸν Κύριον, ἡμῶν συνθεμένων· τῶν λογισμῶν τῶν φθοροποιῶν, βέλη ἀποσόβει, τὰ τοῦ δολομήτου Σατὰν τοῦ ἀλάστορος· καὶ ἐν τῇ ὥρᾳ Πάτερ τοῦ θανάτου τῇ φρικτῇ, τὸν Κύριον δυσώπει, δωρηθῆναι ἡμῖν, τῶν ἐπταισμένων τὴν συγχώρησιν.

*Δόξα. Ἦχος πλ.Α'*

Ὁσιακῆς πανηγύρεως ἐνστάσης, μοναζόντων πᾶσαι χορεῖαι, ἐφέσει πνευματικῇ συνέλθωμεν, ἐν ναῷ ἁγίῳ· καὶ τῆς ἐνθέου χάριτος, καὶ εὐφροσύνης ἀρρήτου, ὡς ἐφικτὸν ἡμῖν ταύτης ἐντρυφήσωμεν· ἰδοὺ γὰρ πάρεστιν ἡμῖν, πνευματικὴ πανδαισία, παρὰ τοῦ ἐν ὁσίοις μεγίστου, καὶ θεοφόρου Πατρὸς Παχωμίου προτιθεμένη· δεῦτε οὖν φιλέορτοι καὶ φιλόσιοι, ἐν ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾄσμασιν εὐωχηθῶμεν, καὶ τῶν ἐνθέων αὐτοῦ ἀγωνισμάτων, καὶ θεοφιλῶν πράξεων ἐπιμνησθῶμεν τῶν νηστειῶν καὶ προσευχῶν τὸ σύντονον, τῶν δακρύων τὰς ῥοάς, τῆς ἀγάπης τὸν θησαυρόν, τῆς φιλοπτωχείας τὸ ἀκένωτον, τὴν τῶν θαυμάτων πληθύν, δι’ ὧν αὐτὸν ἐθαυμάστωσεν ὁ Κύριος· καὶ νῦν ἐν τοῖς οὐρανοῖς αὐτοῦ τῷ θρόνῳ παριστάμενος, ἀδιαλείπτως πρεσβεύει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

*Προσόμοια. Ἦχος πλ.Α΄*

*Χαίροις ἀσκητικῶν.*

Χαίροις ὁ θεοφόρος Πατήρ, ὁ τῶν ῥεόντων εἰς οὐδὲν λογισάμενος, καὶ πάντων καταφρονήσας, τὸν τοῦ Κυρίου ζυγόν, ἐπὶ ὤμων ἄρας τὸν γλυκύτατον, θορύβους καταλιπών, εἰς ἐρήμους ἐμάκρυνας, τὸν νοῦν τοῖς ἄνω, προσανέχων Παχώμιε ἀναδέδειξαι, καθαρώτατον ἔσοπτρον, τοῦ Παναγίου Πνεύματος, κινύρα θεόφθογγος, ἐμμελωδοῦσα θεόφρον, ἐναρμόνιως τοῦ Πνεύματος, φθογγὰς καὶ νῦν Πάτερ, τοὺς ἐν πίστει σὲ ὑμνοῦντας, καὶ πόθῳ μέμνησο.

Ὤφθης τῶν λογικῶν ἀρχηγός, Χριστοῦ προβάτων, ἀγελάρχα Παχώμιε, τῆς κλήσεως εὐμοιρήσας ὡς καθαρὸν ἀληθῶς, σκεῦος τοῦ Ἁγίου, Πάτερ Πνεύματος, καὶ θεῖον ὑπογραμμόν, δι’ Ἀγγέλου δεξάμενος, ὅνπερ ὡς ἄλλος, Μωϋσῆς διετύπωσας ἐν τῷ Σχήματι, τῷ Ἁγίῳ μακάριε· ἄνθρωπος ἐπουράνιος, ἐπίγειος ἄγγελος, ὢν ἐν σαρκὶ καθωράθης, καὶ τῶν ὁσίων κατέλαβες, τὰς ἄνω σκηνώσεις, τὸν Χριστὸν ἡμῖν ἀπαύστως καθιλεούμενος.

Ἔνθα τῶν Ἀποστόλων χοροί, Ὁσίων δῆμοι, τῶν Μαρτύρων στρατεύματα, χορεῖαι τῶν ἀσωμάτων καὶ τῶν δικαίων πληθύς, τῶν ἑορταζόντων ἔνθα ἤκουσται, ὁ ἦχος καὶ ἡ φωνή, θεοφόρε Παχώμιε, τῆς εὐφροσύνης, αὐλιζόμενος ὅσιε, τὰς τῶν τέκνων σου, ἱκεσίας προσδέχθητι, οἵαπερ γνησιώτατος, θεράπων θεσπέσιε, Χριστοῦ τοῦ πάντων Δεσπότου, ὃν ἐκτενῶς καθικέτευε, ἡμῖν δωρηθῆναι, τῶν πολλῶν Πάτερ πταισμάτων τὴν ἀπολύτρωσιν.

*Κάθισμα α'. Τὸν Τάφον σου Σωτήρ. Ἦχος Α'.*

Ὡς ἄγγελος ἐν γῇ, θεοφόρε βιώσας, φλογμὸν τὸν τῶν παθῶν, τοῖς ἱδρῶσί σου Πάτερ, τελέως ἐναπέσβεσας, καὶ τὸν νοῦν ἀνεπτέρωσας, πρὸς τὰ κρείττονα, καὶ διαμένοντα ὅθεν, γέρας εἴληφας, παρὰ Χριστοῦ τοῦ Σωτῆρος, ἰᾶσθαι τοὺς κάμνοντας.

*Δόξα. Καὶ νῦν.*

Οὐράνιον φωνήν, σοὶ Παρθένε τὸ χαῖρε, ὁ μέγας προσφωνεῖ, στρατηγὸς τῶν Ἀγγέλων, τοῦ γένους Εὐαγγέλια, τῶν βροτῶν τὰ σωτήρια, προσφθεγγόμενος, ὁ προαιώνιος Λόγος, σοὶ ἐνῴκησε, Παρθενομῆτορ ἀσπόρως, φθορᾶς εἰς ἀναίρεσιν.

*Μετὰ τὴν Β' Στιχ. Τὴν ὡραιότητα. Ἦχος Γ'*

Καθηγησάμενος πατέρων ἄριστε, ποίμνης Παχώμιε, μακαριώτατε, τῆς τοῦ Χριστοῦ καὶ εἰς νομάς, τοῦ Πνεύματος θεοφόρε, ταύτην

καθωδήγησας, καὶ ἐξέθρεψας ὅσιε, καὶ Χριστῷ παρέστησας, ὥσπερ δόμα εὐσπρόδεκτον, διὸ καὶ τὸν μισθὸν ἐκομίσω, τῶν πόνων σου τῶν πολλῶν ἐπαξίως.

*Δόξα. Καὶ νῦν.*

Ὡς ἀκατάληπτὰ τὰ σὰ μυστήρια, καὶ ἀνερμήνευτα Θεοχαρίτωτε, πῶς ἐν γαστρὶ ἄνευ σπορᾶς, Τριάδος Κόρη τὸν Ἕνα, χαῖρε προσφωνοῦντός σοι, τοῦ Ἀγγέλου συνέλαβες, καὶ ἀφθόρως ἔτεκες, καὶ Παρθένος διέμεινας, Ἁγνὴ καὶ μετὰ τόκον διό σε, Μητέρα ὡς Θεοῦ ἀνυμνοῦμεν.

*Μετὰ τὸν Πολυέλεο, Τὴν σοφίαν καὶ Λόγον. Ἦχος πλ.δ*

Τῆς ἐρήμου πολίτης καὶ οἰκιστής, καθωράθης θεόφρον ὡς ἀληθῶς, θορύβων ἐξέκλινας, τῶν ματαίων Παχώμιε, τῆς ἡσυχίας Πάτερ, κεντούμενος ἔρωτι, τῶν οὐρανίων ὅλως, τὰ κάλλη ἐπόθησας· ὅθεν καὶ ἐμπόνου, πολιτείας καθήψω, νηστείαις καὶ δάκρυσι, τῆς σαρκὸς τὴν εὐπάθειαν, καταμαράνας ὅσιε, καὶ εἴληφας παρὰ Χριστοῦ τοῦ Θεοῦ, θεραπεύειν νόσους τὰς τοῦ σώματος, καὶ τῶν ψυχῶν ἀποσμήχειν, τοὺς ῥύπους μακάριε.

*Δόξα. Καὶ νῦν.*

Ὁ τῶν ὅλων Δεσπότης καὶ ποιητής, βουληθεὶς ἀναπλᾶσαι τὴν ἑαυτοῦ, εἰκόνα τοῖς πάθεσι, πρὶν φθαρεῖσαν ὡς εὐσπλαγχνος, διὰ τοῦ Ἀρχαγγέλου χαρᾶς Εὐαγγέλια, μηνύει τῆς ἀρρήτου, βουλῆς σοι Θεόνυμφε, ὅθεν ἐν τῇ

μήτρᾳ δεξαμένη τὸν Λόγον, σαρκὶ ἀπεκύησας τὸν αὐτοῦ γνωριζόμενον, Θεὸν ἅμα καὶ ἄνθρωπον· ἵλεων γενέσθαι Ἁγνή, ὡς Υἱόν σου τοῦτον καθικέτευε, τοῦ αἰωνίου ῥυσθῆναι πυρὸς τῆς κολάσεως.

**Ὁ Κανὼν τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς,**

*«Παχωμίῳ τῷ πάνυ αἶνος ᾠδῆς», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ».*

*Ἦχος πλ.δ΄*

*Ὠιδὴ Α΄ Ἁρματηλάτην Φαραώ.*

Πάτερ καὶ Λόγε καὶ Πνεῦμα τὸ Ἅγιον, ἡ Παναγία Τριάς, φώτισον τὸν νοῦν μου, καὶ τὴν γλῶτταν τράνωσον, ὑμνῆσαι τὰ παλαίσματα, καὶ ἀγῶνας ἀξίως, τοῦ Παχωμίου τοῦ μάκαρος, οὕσπερ ἐν ἀσκήσει διήνυσε.

Ἀπαναστὰς τῶν ἐγκοσμίων ὅσιε, καὶ ἐν ἐρήμοις ποιῶν, οἴκησιν ὡράθης, ἐν σαρκὶ ὡς ἄγγελος, Παχώμιε μακάριε, καὶ Θεὸν τῶν ὁρώντων, ὡς ἀληθῶς προηγούμενος, καὶ κανὼν ἐδείχθης καὶ ἔρεισμα.

Χεῖρας ὑψῶν πρὸς τὸν Θεὸν τρισόλβιε, καθάπερ ἄλλος Μωσῆς, τεταμένας ἔχων, ὑπεδέξω ὅσιε, πυξία τὰ τοῦ Πνεύματος, τῇ χειρὶ τοῦ Ἀγγέλου, κανόνα θεῖον παρέχοντα, καὶ ὑπογραμμὸν τοῖς μονάζουσι.

*Θεοτοκίον.*

Ἱλαρωτάτῃ διαθέσει Δέσποινα, καθάπερ χήρα ἡ πρίν, τὰ λεπτὰ Παρθένε, τὴν ᾠδὴν προσάγω σοι, καὶ τῷ ὁσίῳ ἅμα τε, Παχωμίῳ τῷ πάνυ, καθικετεύων δοθῆναί μοι, τοῦ θανάτου μνήμην πρεσβείαις ὑμῶν.

*Ὠιδὴ Γ΄ Ὁ στερεώσας κατ᾽ ἀρχάς.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὥσπερ φωστῆρα ἀπλανῆ, προσκτησαμένη θεόφρον, ἡ πληθὺς τῶν μοναζόντων σε Πάτερ, τῷ φωτὶ τῶν διδαχῶν, τῶν σῶν τὰς τοῦ ἀλάστορος, παρεμβολὰς εἰς τέλος, κατετροπώσατο ὅσιε.

Μισήσας ὅλως τῶν φθαρτῶν, Παχώμιε θεοφόρε, ἐραστὴς τῶν ἀθανάτων ἐγένου, καὶ ἱδρῶσι σεαυτόν, καὶ πόνοις καθυπέβαλες, ἀεὶ τοῖς ἄνω Πάτερ, τῇ διανοίᾳ πτερούμενος.

Ἴαμα ὤφθης τῶν ψυχῶν, καὶ τῶν σωμάτων τρισμάκαρ, καὶ πενήτων δαψιλὴς χορηγία, τῶν πταιόντων ἱλασμός, πιπτόντων ἡ ἀνόρθωσις, τοῖς πᾶσι πᾶν ἐγένου, σημειοφόρε Παχώμιε.

*Θεοτοκίον.*

Λόγον Παρθένε τοῦ Θεοῦ, ἐν τῇ γαστρὶ συλλαβοῦσα, τῇ φωνῇ τοῦ Ἀρχαγγέλου ἀσπόρως, καὶ ἀφθόρως τῶν βροτῶν, εἰς σωτηρίαν τέτοκας, καὶ μετὰ τόκον πάλιν, Ἁγνὴ Παρθένος διέμεινας.

*Ὠιδὴ Δ΄ Εἰσακήκοα Κύριε.*

Ὥσπερ φοῖνιξ ἐξήνθησας, ἐν ἐρήμοις Πάτερ εἰσκομισάμενος τὸν καρπὸν ἑκατοστεύοντα, κλέος μοναζόντων καὶ ἐντρύφημα.

Ταπεινὸν ὁσιώτατε, φρόνημα καὶ πρᾶον ἐπιδειξάμενος, τῶν χαρίτων ὤφθης ἔμπλεως, τοῦ Ἁγίου Πνεύματος Παχώμιε.

Ὡρσισίῳ πανάριστε, καὶ τῷ Θεοδώρῳ τύπος γενόμενος, καὶ κανὼν ἐν τοῖς παλαίσμασι, καὶ τῷ Πετρωνίῳ τῆς ἀσκήσεως.

Θεοτοκίον.

Ἀρχαγγέλου Θεόνυμφε, ἐνωτισαμένη φωνὴν συνέλαβες, τοῦ Πατρὸς τὸν ὁμοούσιον, Λόγον εἰς βροτῶν τὴν ἀπολύτρωσιν.

Ὠιδὴ Ε΄ Ἵνα τί με ἀπώσω.

Παχωμίῳ ἐμπρέπει, ἐν ἐνθέοις ᾄσμασι γέρας ἐπάξιον, τοῦ φωστῆρος δίκην, τὴν ὑφήλιον περιαυγάσαντι, τοῖς ἐν τῇ ἀσκήσει, ἔργοις αὐτοῦ καὶ ἐν σημείοις, οἷσπερ τοῦτον Χριστὸς ἐθαυμάστωσε.

Ἀρχηγὸς θεοφόρε, τοῖς ἐπὶ τὰ ἄνω ἀνεδείχθης νεύουσι, πληθὺν τῷ Δεσπότῃ, σωζομένων προσῆξας πανόλβιε, ὡς καθαρωτάτην, θυσίαν Πάτερ καὶ εὐώδη, καὶ ἡδεῖαν Χριστῷ καὶ εὐπρόσδεκτον.

Νυχθημέροις σχολάζων, προσευχαῖς Παχώμιε ὕπνον οὐκ ἔδωκας, Πάτερ σοῖς βλεφάροις, καὶ νηστείαις καὶ πόνοις ἐνέκρωσας, τῆς ὑλομανούσης, ὁρμὰς σαρκὸς καὶ ἀπαθείας, γαληνοὺς πρὸς λιμένας κατέφθασας.

Θεοτοκίον.

Ῥυπαρίας ἐρρύσω, γένος τὸ ἀνθρώπινον τῆς τοῦ προπάτορος, τοῦ Ἀγγέλου Κόρη, δεξαμένη τὸ χαῖρε καὶ ἥνωσας, τὰ πρὶν διεστῶτα, τῷ πανασπίλῳ τοκετῷ σου, τὸν Θεὸν ἐν γαστρὶ σωματώσασα.

Ὠιδὴ ΣΤ΄ Ἱλάσθητί μοι Σωτήρ.

Ὑψόθεν Πάτερ ἡ σή, κλῆσις θεσπέσιε γέγονε, ὡς πάλαι τῷ Μωϋσῇ, ἰθύνειν προτρέπουσα, λαὸν περιούσιον, εἰς γῆν καρποφόρον, τῆς ζωῆς τοῦ ἄρτου ὅσιε.

Ἀσκήσει πῦρ τῶν παθῶν, Παχώμιε κατεμάρανας, τὴν πρᾶξιν ἐπιτιθείς, θεόφρον ἐπίβασιν, σωτηρίας ὅθεν σοι, πλουσίως ἡ χάρις, ἐπεσκίασεν μακάριε.

Ἰάσεις ἐπιτελῶν, καὶ περιὼν ὤφθης ὅσιε, ἐν γῇ τοῖς πίστει θερμῇ, φοιτῶσι Παχώμιε, καὶ πηγὴ ἐκβλύζουσα, μετὰ πότμον ὤφθης, ῥεῖθρα Πάτερ τῶν ἰάσεων.

*Θεοτοκίον.*

Ἰὸν τῆς Εὔας τὸ πρίν, ταῖς ἀκοαῖς ἐξεκένωσεν, ὁ ὄφις ἐν τῇ Ἐδέμ, φθορὰν ἐργασάμενος, σοὶ δὲ προσφωνήσαντος, χαῖρε τοῦ Ἀγγέλου, τὴν ζωὴν Κόρη ἐξήνθησας.

*Ὠιδὴ Ζ΄ Θεοῦ συγκατάβασιν.*

Νεκρώσας τὸ φρόνημα, τῆς ἐπηρμένης σαρκὸς συντόνῳ σπουδῇ καὶ νηστείαις σχολάζων, καὶ ταῖς ἀπαύστοις καὶ ἀνενδότοις εὐχαῖς, καὶ καθωράθης δοχεῖον τοῦ Πνεύματος, Πατέρων κλέος σεπτόν, καὶ ἀσκητῶν ἡ κρηπίς.

Ὁσίων συστήμασι, Πάτερ ἐπόλισας τὰς ἐρήμους σοφέ, καὶ ὡς στύλος καθάπερ, φωσφόρος ὤφθης, καταφαιδρύνων φωτί, τοῖς σοῖς θεοφόρε Παχώμιε, ποδηγετῶν εὐσθενῶς, πρὸς τὴν ἀμείνω ζωήν.

Στενὴν ἐπεπόθησας, ὁδεῦσαι Πάτερ καὶ τεθλιμένην ὁδόν, διὰ τοῦτο πρὸς πλάτη, τῆς θεωρίας τὸν σὸν ἐπτέρωσας νοῦν, καὶ ἀγαλλόμενος ἔμελπες ὅσιε, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Θεοτοκίον.*

Ὢ θαῦμα παράδοξον, πῶς Κόρη ἄφθορος, ἐν τῇ μήτρᾳ φωνῇ, τοῦ Ἀγγέλου ἀσπόρως, τὸν προαιώνιον συλλαβοῦσα Θεόν, καὶ παναφθόρως ἐν χρόνῳ ἐκύησε, φύσεσιν ἕνα δυσί, καὶ ὑποστάσει μιᾷ.

*ᾨδὴ Η' Ἑπταπλασίως κάμινον.*

Ὡς ἄγγελος ἐβίωσας, ἐπὶ γῆς παναοίδιμε, ἐκτεμὼν τὰς ῥίζας, τῶν παθῶν Παχώμιε, νηστείαις καὶ δάκρυσι, καὶ τῇ δεήσει τῇ ἐκτενεῖ, καὶ θαυματουργῶν ἐπὶ τῆς γῆς καθωράθης, διὸ περιπολεύων, ἐν σκηναῖς νῦν ταῖς ἄνω, Χριστὸν ἀεὶ δυσώπει, ὑπὲρ τῶν σὲ ὑμνούντων.

Διδασκαλίας ἔνθεον, Πάτερ ὄργανον γέγονας, τοὺς συνόντας θείοις, καταρδεύων νάμασι, τῶν λόγων σου ὅσιε, καὶ τῷ τῶν ἔργων ὑπογραμμῷ, καὶ ἀναβοᾶν τούτους προτρέπων θεόφρον, οἱ παῖδες εὐλογεῖτε, τῶν ὁσίων τε δῆμοι, τὸν Κύριον ὑμνεῖτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἡ ἑνιαία δύναμις, καὶ Θεότης καὶ βούλησις, φύσις καὶ οὐσία, ἡ Τριὰς ἡ Πάνταρχος, Πατὴρ ὁ ἀγέννητος, καὶ Λόγος ἅμα ὁ γεννητός, καὶ τὸ ἐκ Πατρὸς ἐκπορευόμενον Πνεῦμα, Θεὲ Πατέρων σκέπε, ἐξ ἐχθρῶν ἀλαστόρων, καινὰ ἐκμελετώντων πιστῶν τὴν Ἐκκλησίαν.

*Θεοτοκίον.*

Νενοσηκυῖαν Δέσποινα, ἀνιάτως τὴν βρότειον, φύσιν τῷ σῷ τόκῳ, Κόρη ἐθεράπευσας, φωνὴν τὴν χαρμόσυνον, ἐνωτισθεῖσα τοῦ Γαβριήλ, καὶ

τῷ Πατρικῷ ταύτην ἐνίδρυσας θρόνῳ, διὸ σὺν τῷ Ἀγγέλῳ καὶ ἡμεῖς σοι βοῶμεν, Χαῖρε Παρθένε, Χαῖρε ἡ Κεχαριτωμένη.

*Ὠιδὴ Θ΄ Ἐξέστη ἐπὶ τούτῳ.*

Στησώμεθα χορείαν τῶν μοναστῶν, τὰ συστήματα ἅπαντα σήμερον, ἐν τῇ σεπτῇ, μνήμῃ τῇ ἁγίᾳ καὶ φεραυγεῖ, ἐν εὐφροσύνῃ μέλποντες, τοῦ καθηγεμόνος ἡμῶν Πατρός, τοῦ θείου Παχωμίου, ἑόρτια ἐν πίστει, καὶ διαπύρῳ πόθῳ ᾄσματα.

Σοφίᾳ διαπρέψας ἐπὶ τῆς γῆς, τῇ ἀμείνῳ θεόφρον καὶ δίαυλον, Πάτερ τὸν σόν, διεκπεραιώσας ἀγγελικῶς, ἐν ταῖς μοναῖς κατέφθασας, τῶν ἑορταζόντων ἐν οὐρανοῖς, καὶ νῦν Χριστὸν δυσώπει, αὐτοῦ τῇ Ἐκκλησίᾳ, δοῦναι εἰρήνην καὶ ὁμόνοιαν.

Ξενώσας παμμακάριστε σεαυτόν, τῶν γηΐνων καθάπαξ Παχώμιε, τῶν ἐφετῶν, εὗρες τὸ ἀκρότατον καὶ χοροῖς, τοῖς νοεροῖς πανόλβιε, νῦν συναγελάζων Χριστὸν ἀεί, ἱκέτευε δοθῆναι, ἡμῖν τὴν σωτηρίαν, τοῖς ἑορτάζουσι τὴν μνήμην σου.

*Θεοτοκίον.*

Μαρία τὸ γλυκύτατον καὶ τερπνόν, καὶ πανάγιόν τε καὶ σωτήριον, καὶ φωτουργόν, ὄνομα Πανύμνητε ἐσαεί, ὑμνοῦντες οἱ τὸ Ὄρος σου, Ἄθω ἐνοικοῦντές σοι ἐκτενῶς, δεόμεθα πταισμάτων, εὑρεῖν ἡμῶν τὴν λύσιν, ἐν τῇ ἡμέρᾳ τῆς ἐτάσεως.

*Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀγγελικῶς τὸν δίαυλον, θεοφόρε τελέσας, ἐν οὐρανοῖς κατέφθασας, τὰ σκηνώματα Πάτερ, Παχώμιε τῶν ἁγίων, καὶ Χριστοῦ νῦν τῷ θρόνῳ, σὺν τῷ ἱερομάρτυρι, τῷ κλεινῷ Ἰγνατίῳ παρεστηκώς, τῶν ὑμνολογούντων ὑμᾶς τῆς ἄνω, τυχεῖν καθικετεύσατε, τοῦ Χριστοῦ Βασιλείας.

*Θεοτοκίον.*

Τὸ χαῖρε ὁ Ἀρχάγγελος, Γαβριὴλ σοι Παρθένε, ἀναφωνῶν τὴν σάρκωσιν, τοῦ πρὸ πάντων αἰώνων, ἐκ τοῦ Πατρὸς γεννηθέντος, ἔσεσθαι ἐν τῇ μήτρᾳ, τῇ σῇ ἐν χρόνῳ ἄφθορε, εἰς ἀνάπλασιν γένους, τοῦ τῶν βροτῶν, ἐν Ἐδὲμ τοῦ ὄφεος πρὶν φθαρέντος, ἰῷ τοῦ δολιόφρονος, καὶ δεινοῦ βροτοκτόνου.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Προσόμοια, Τῶν οὐρανίων ταγμάτων. Ἦχος α΄.

Ἀσκητικῆς πανδαισίας προτιθεμένης ἡμῖν, σήμερον τοῦ ὁσίου φαεσφόρου λαμπτῆρος, τοῦ θείου Παχωμίου δεῦτε πιστῶν, φιλεόρτων ὁμήγυρις, αὐτοῦ τὴν μνήμην ἐν ὕμνοις μελῳδικοῖς, καὶ ἐνθέοις καταστέψωμεν.

Τῶν περιγείων θεόφρον Πάτερ τὰ ἕωλα, καταφρονήσας ἤθρης, θεωρίας πρὸς ὕψος, ἀσκήσεως τοῖς πόνοις ἐνδελεχῶς, καρτερόφρον σθενούμενος, καὶ ἀγελάρχης ἐδείχθης πανευκλεής, καὶ ἀκέστωρ ἐνθεώτατος.

Τῆς ὑπερθέου Τριάδος καταλαμπόμενος, φωτὶ τῷ ἀπροσίτῳ, νῦν Παχώμιε μάκαρ, θρεμμάτων τὰς δεήσεις Πάτερ τῶν σῶν, προσδεχόμενος, τὰς ἐν τῷ Σχήματι θείας ἡμῶν εὐχάς, πληρωθῆναι Χριστῷ πρέσβευε.

## *Δόξα. Ἦχος πλ.δ΄*

Οἱ τῶν ὁσίων δῆμοι, πάντες συνέλθωμεν, τὴν τοῦ πανοσίου Πατρός, ἑορτᾶσαι χαρμόσυνον, τοῦ Παχωμίου πανήγυριν· τοῦ ἰσαγγέλου ἐν ὕλῃ ὀφθέντος, καὶ τῶν δαιμόνων τὰς ὁρμάς, τοῖς τῆς ἀσκήσεως ἱδρῶσι, καταβαλόντος εἰς τέλος. Αὐτῷ ἐν πίστει καὶ πόθῳ καὶ χαρᾷ πνευματικῇ, προσφωνήσωμεν λέγοντες· τῶν μοναστῶν ἡ καλλονὴ καὶ στάθμη καὶ ἀκρότης, Πατὴρ ἡμῶν ὅσιε, τῷ δραστικῷ τῶν σῶν εὐχῶν φαρμάκῳ θεοφόρε, τῶν σῶν τέκνων τὰς ψυχάς, ἐπίρρωσον τελέσαι, τὸν ἐπιλαχόντα ἡμῖν, κλῆρον εὐσπλαγχνίᾳ πολλῇ τῆς Πανυμνήτου θεόπαιδος, ἀσκητικῶς ἐν τουτωνὶ τῷ Ὄρει, τῷ Ἄθῳ τῷ σεπτῷ, καὶ τῶν πταισμάτων δοθῆναι ἡμῖν τὴν συγχώρησιν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ